1. The horse-soldiers have spears and shields. 2. The lions devour the bodies of the oxen. 3. Base gains are not useful to men. 4. The wolf has long ears. 5. The walls of the town are strong. 6. The rulers have privileges. 7. The sufferings of the soldiers were painful to the leader. 8. The mother gives beautiful names to her children. 9. Wise men admire Socrates the philosopher. 10. The citizens give honour to old age.

B.—1. οἱ στρατιῶται τὰ τῶν πολεμίων ἅρματα φοβοῦνται. 2. τοῖς γεωργοῖς γάλακτος καὶ μέλιτος ἀφθονία ἐστίν. 3. οἱ παῖδες τοῖς δένδρεσι καὶ ἄνθεσιν ἥδονται. 4. τὰ τῶν ναυτῶν χρήματα ἐν τῇ τριήρει ἦν. 5. τὰ κακὰ τοῦ γήρως οἱ ποιηταὶ μέμφονται.

1. The experienced leaders do not fear the portents. 2. In the town are temples of Apollo and Hercules. 3. A wreath of flowers is given by the daughters to their mother. 4. The affairs of the city are difficult. 5. The races of wild beasts are hostile to men.

VIII.—ADJECTIVES OF THE THIRD DECLENSION.

1. *Adjectives of Three Terminations.*

1. Stems in ν, and 2. Stems in αντ.

(1.) Stem μελᾰν, *black.* Nom. μέλᾱς, μέλαινα, μέλᾰν.
(2.) Stem παντ; *all, every.* Nom. πᾶς, πᾶσα, πᾶν.

	Masc.	Fem.	Neut.	Masc.	Fem.	Neut.
Sing.						
Nom.	μέλᾱς	μέλαινα	μέλᾰν	πᾶς	πᾶσα	πᾶν
Voc.	μέλαν	μέλαινα	μέλαν	πᾶς	πᾶσα	πᾶν
Acc.	μέλανα	μέλαιναν	μέλαν	πάντα	πᾶσαν	πᾶν
Gen.	μέλᾰνος	μελαίνης	μέλᾰνος	παντός	πάσης	παντός
Dat.	μέλανι	μελαίνῃ	μέλανι	παντί	πάσῃ	παντί
Dual.						
N. V. A.	μέλανε	μελαίνᾱ	μέλανε			
G. D.	μελάνοιν	μελαίναιν	μελάνοιν			
Plur.						
N. V.	μέλανες	μέλαιναι	μέλανα	πάντες	πᾶσαι	πάντα
Acc.	μέλανας	μελαίνας	μέλανα	πάντας	πάσας	πάντα
Gen.	μελάνων	μελαινῶν	μελάνων	πάντων	πασῶν	πάντων
Dat.	μέλασι(ν)	μελαίναις	μέλασι(ν)	πᾶσι(ν)	πάσαις	πᾶσι(ν)

3. Stems in εντ, and 4. Stems in οντ.

(3.) Stem χαριεντ, *graceful.* Nom. χαρίεις, χαρίεσσα, χαρίεν
(4.) Stem ἑκοντ, *willing.* Nom. ἑκών, ἑκοῦσα, ἑκόν.

	Masc.	Fem.	Neut.	Masc.	Fem.	Neut.
Sing.						
Nom.	χαρίεις	χαρίεσσα	χαρίεν	ἑκών	ἑκοῦσα	ἑκόν
Voc.	χαρίεν	χαρίεσσα	χαρίεν	ἑκών	ἑκοῦσα	ἑκόν
Acc.	χαρίεντα	χαρίεσσαν	χαρίεν	ἑκόντα	ἑκοῦσαν	ἑκόν
Gen.	χαρίεντος	χαριέσσης	χαρίεντος	ἑκόντος	ἑκούσης	ἑκόντος
Dat.	χαρίεντι	χαριέσσῃ	χαρίεντι	ἑκόντι	ἑκούσῃ	ἑκόντι
Dual.						
N.V.A.	χαρίεντε	χαριέσσᾱ	χαρίεντε	ἑκόντε	ἑκούσᾱ	ἑκόντε
G. D.	χαριέντοιν	χαριέσσαιν	χαριέντοιν	ἑκόντοιν	ἑκούσαιν	ἑκόντοιν
Plur.						
N. V.	χαρίεντες	χαρίεσσαι	χαρίεντα	ἑκόντες	ἑκοῦσαι	ἑκόντα
Acc.	χαρίεντας	χαριέσσας	χαρίεντα	ἑκόντας	ἑκούσας	ἑκόντα
Gen.	χαριέντων	χαριεσσῶν	χαριέντων	ἑκόντων	ἑκουσῶν	ἑκόντων
Dat.	χαρίεσι(ν)	χαριέσσαις	χαρίεσι(ν)	ἑκοῦσι(ν)	ἑκούσαις	ἑκοῦσι(ν)

χαρίεις has also a stem χαριετ, from which the dative plural χαρίεσι is formed, for χαρίετ-σι. There are no other adjectives in Attic declined like χαρίεις.

5. Stems in υ.   ἡδυ, *pleasant.*   Nom. ἡδύς, ἡδεῖα, ἡδύ.

	Masc.	Fem.	Neut.
Sing.			
Nom.	ἡδύς	ἡδεῖᾰ	ἡδύ
Voc.	ἡδύ	ἡδεῖᾰ	ἡδύ
Acc.	ἡδύν	ἡδεῖαν	ἡδύ
Gen.	ἡδέος	ἡδείας	ἡδέος
Dat.	ἡδεῖ	ἡδείᾳ	ἡδεῖ
Dual.			
N. V. A.	ἡδεῖ	ἡδείᾱ	ἡδεῖ
G. D.	ἡδέο:ν	ἡδείαιν	ἡδέοιν
Plur.			
N. V.	ἡδεῖς	ἡδεῖαι	ἡδέα
Acc.	ἡδεῖς	ἡδείας	ἡδέα
Gen.	ἡδέων	ἡδειῶν	ἡδέων
Dat.	ἡδέσι(ν)	ἡδείαις	ἡδέσι(ν)

The Dat. Sing., N. V. A. Dual, and N. V. Pl. are contracted like πῆχυς, p. 24.

20. πᾶς when used with a singular in the sense of 'whole' has generally the predicative position: as πᾶσα ἡ πόλις, or ἡ πόλις πᾶσα, *the whole city.* The English order is also possible, ἡ πᾶσα πόλις.

It has the predicative position when used with a plural and the definite article, in the sense of 'all': as πᾶσαι αἱ πόλεις, or αἱ πόλεις πᾶσαι, *all the cities.*

It is used in the singular in the sense of 'every' without the article: as πᾶσα πόλις, or πόλις πᾶσα, *every city ;* in the plural πᾶσαι πόλεις, or πόλεις πᾶσαι, *all cities.*

EXERCISE XIX.

νικᾷ,	*(he) conquers.*	νικῶσι(ν),	*(they) conquer.*
νικᾶται,	,, *is conquered.*	νικῶνται,	,, *are conquered.*
τύπτει,	,, *strikes.*	τύπτουσι(ν),	,, *strike.*
τύπτεται,	,, *is struck.*	τύπτονται,	,, *are struck.*

A.—1. γλυκεῖά ἐστιν ἡ κολάκων φωνή. 2. χειμῶνος μὲν αἱ νύκτες μακραί εἰσι, θέρους δὲ βραχεῖαι. 3. ὁ βασιλεὺς πάσης τῆς πόλεως ἐπιμέλειαν ἔχει. 4. τὸ χωρίον ἦν τραχὺ τοῖς ἱππεῦσιν. 5. πᾶσα φυγή ἐστι τάλαινα. 6. ὁ λιμὴν τὸν εἰσπλοῦν εὐρὺν ἔχει. 7. πασῶν τῶν ἀρετῶν ἡγεμών ἐστιν ἡ θεοσέβεια. 8. τὰ τῆς Σαπφοῦς χαρίεντα ἔπη αἱ Μοῦσαι ἐπαινοῦσιν. 9. οἱ θρασεῖς ἡγεμόνες τοὺς πολεμίους μάχῃ νικῶσιν. 10. ὁ στρατιώτης δόρατι ὀξεῖ ἀποκτείνει τὸν ἵππον.

1. Time is the healer of every sorrow.   2. The citizens have a rough country.   3. All the garments were black.   4. The contests are pleasant to the swift horses.   5. Life is short, art is long. 6. The Athenians punish Themistocles with exile.   7. The daughters of the king are graceful.   8. The Persians are overcome by the Greeks in war.   9. The talons of the bird are sharp.   10. He strikes the slow horse with the whip.

21. The adjectives ἑκών, *willing;* ἄκων, *unwilling;* ἄσμενος, *glad,* are used predicatively with the force of adverbs: as ἄκων ἥμαρτεν, *he sinned unwillingly* (lit. *he sinned unwilling*).

B.—1. πάντες ἄνθρωποι τὸ μὲν ἡδὺ φιλοῦσι, τὸ δὲ λυπηρὸν μισοῦσι.   2. ἡ μήτηρ ἄκουσα τὴν θυγατέρα μέμφεται.   3. τὰ καλὰ ἄνθη τοῖς παισὶν ἡδέα ἐστίν.   4. οἱ φύλακες ἑκόντες τὸν προδότην ἀποκτείνουσιν.   5. τὸ στράτευμα πᾶν δόλῳ νικᾶται.

1. The enjoyment of base gain is short.   2. The queen gives gold to the prophet gladly.   3. All the towns have strong walls. 4. The wisdom of Socrates is admired by all.   5. The husbandmen fear the deep river.

2. Adjectives of Two Terminations.

1. Stems in εσ, and 2. Stems in ον.

(1.) Stem ἀληθεσ, *true.* Nom. ἀληθής M. and F., ἀληθές Neut.

(2.) Stem σωφρον, *temperate.* Nom. σώφρων M. and F. σῶφρον Neut.

	Masc. and Fem.	Neut.	Masc. and Fem.	Neut.
Sing.				
Nom.	ἀληθής	ἀληθές	σώφρων	σῶφρον
Voc.	ἀληθές		σῶφρον	
Acc.	ἀληθῆ	ἀληθές	σώφρονα	σῶφρον
Gen.	ἀληθοῦς		σώφρονος	
Dat.	ἀληθεῖ		σώφρονι	
Dual.				
N. V. A.	ἀληθεῖ		σώφρονε	
G. D.	ἀληθοῖν		σωφρόνοιν	
Plur.				
N. V.	ἀληθεῖς	ἀληθῆ	σώφρονες	σώφρονα
Acc.	ἀληθεῖς	ἀληθῆ	σώφρονας	σώφρονα
Gen.	ἀληθῶν		σωφρόνων	
Dat.	ἀληθέσι(ν)		σώφροσι(ν)	

Compare the contractions of τριήρης and γένος.

Adjectives ending in -ης preceded by a vowel contract ε-α into α. Thus ὑγιής, *healthy*, makes in Acc. Masc. Sing., and in Nom. Neut. Pl. ὑγιᾶ (ὑγιέ-α).

(3.) Adjectives compounded from noun. are declined for the most part like those nouns.

Stem εὐχαριτ, *graceful*.   Nom. εὔχαρις M. & F., εὔχαρι, Neut.
Stem τριποδ, *three-footed*.   Nom. τρίπους M. & F., τρίπουν, Neut.

	Masc. and Fem.	Neut.		Masc. and Fem.	Neut.
Sing.			Sing.		
Nom.	εὔχαρις	εὔχαρι	N.V.	τρίπους	τρίπουν
Voc.	εὔχαρι				
Acc.	εὔχαριν	εὔχαρι	Acc.	τρίποδα	τρίπουν
Gen.	εὐχάριτος		Gen.	τρίποδος	
Dat.	εὐχάριτι		Dat.	τρίποδι	
Dual.			Dual.		
N.V.A.	εὐχάριτε		N.V.A.	τρίποδε	
G.D.	εὐχάριτοιν		G.D.	τριπόδοιν	
Plural.			Plural.		
N.V.	εὐχάριτες	εὐχάριτα	N.V.	τρίποδες	τρίποδα
Acc.	εὐχάριτας	εὐχάριτα	Acc.	τρίποδας	τρίποδα
Gen.	εὐχαρίτων		Gen.	τριπόδων	
Dat.	εὐχάρισι(ν)		Dat.	τρίποσι(ν)	

εὔελπις M. and F., εὔελπι Neut., *confident*, Stem εὐελπιδ, is declined like ἐλπίς, except in Acc. Masc. Sing., in which, as it is not accented like ἐλπίς on the last syllable, it forms εὔελπιν. (See Note 3, p. 21.)

22. The Genitive is used with certain adjectives to indicate the matter in regard to which the quality denoted by the adjective is exercised: as πολέμου ἔμπειρος, *experienced in war* ; πρακτικὸς τῶν δικαίων, *active in just things*.

Exercise XX.

A.—1. οἱ μὲν σώφρονες ἐλεύθεροί εἰσιν, οἱ δὲ ἀκρατεῖς ἀνελεύθεροι. 2. οἱ θεοὶ τοὺς ἀσεβεῖς κολάζουσιν. 3. οἱ νεανίαι τῆς μουσικῆς ἐπιστήμονες ἦσαν. 4. χειμῶνος οἱ ναῦται τὸν ἀσφαλῆ λιμένα ἐπαινοῦσιν. 5. οἱ ἀγαθοὶ τοῖς δυστυχέσιν εἰσὶν εὖνοι. 6. ἐπαινεῖ ὁ ποιητὴς τὰ εὐκλεᾶ ἔργα τῆς πόλεως. 7. οἱ τοῦ ῥήτορος λόγοι οὐκ ἦσαν εὐχάριτες. 8. ἄφρονές εἰσιν οἱ μεγαλήγοροι. 9. οἱ στρατιῶται ἄκοντες τὸν ἱερέα ἀποκτείνουσιν. 10. οἱ ἡγεμόνες ἦσαν εὔελπιδες.

1. All things are difficult for the senseless. 2. The gods are gracious to the pious. 3. The general blames the false words of the herald. 4. The children are mindful of their parents. 5. The soldiers were not experienced in husbandry. 6. He gives spears and shields to the whole army. 7. The intemperate are not happy. 8. The king has a self-controlled nature. 9. The leader kills the male children. 10. The deep rivers are full of fish.

B.—1. τὸ ἀγαθὸν τῷ καλῷ συγγενές ἐστιν. 2. οἱ ἀσθενεῖς γέροντες τὴν ὕβριν τῶν ἱππέων φοβοῦνται. 3. πάντες οἱ γεωργοὶ ὑγιᾶ σώματα ἔχουσι. 4. ὁ τοῦ Περικλέους ἀδελφὸς τοῦ δεξιοῦ κέρως ἡγεμὼν ἦν. 5. οἱ εὐσεβεῖς ὑπὸ τῶν ἀσεβῶν μισοῦνται.

1. They were self-controlled in words, but bold in deeds. 2. Neither by persuasion nor force does the king overcome the philosopher. 3. In the rough country there are safe harbours. 4. The just judges are not indulgent to the rich and noble. 5. A good reputation is pleasing to all.

3. *Adjectives of One Termination.*

These have the same form for the Masculine and Feminine, but on account of their meaning are scarcely used in connection with Neuter nouns at all. If they ever are so used, the Nom. and Acc. Neut. Sing. have the same form as the Nom. Masc. Sing., and the Nom. and Acc. Neut. Pl. end in α.

Instances of adjectives of one termination are—

ἀγνώς, *unknown,*	stem	ἀγνωτ-
ἀλαζών, *boastful,*	,,	ἀλαζον-
ἅρπαξ, *rapacious,*	,,	ἁρπαγ-
πένης, *poor,*	,,	πενητ-

EXERCISE XXI.

1. οἱ προδόται ἦσαν ἀγνῶτες τῷ βασιλεῖ. 2. οἱ λέοντές εἰσιν ἅρπαγες. 3. οἱ ἄρχοντες τοῖς φυγάσιν εὐμενεῖς εἰσιν. 4. ὁ θάνατος πᾶσι κοινός ἐστι, τοῖς τε πλουσίοις καὶ τοῖς πένησι. 5. οἱ ἐγκρατεῖς οὐκ ἀλαζόνες εἰσίν.

1. The husbandmen were poor and unfortunate. 2. The whole city fears the power of the tyrant. 3. The young love those * of-the-same-age. 4. The priests were skilled in prophecy. 5. The just judge punishes both the well-born and the unknown.

---

* ' Those' when used generally   dered by the article.
of a whole class is to be ren-

IX. – SOME IRREGULAR SUBSTANTIVES.

	STEM.	Ζευ and Δι.
Sing. *Nom.*		Ζεύς, *Zeus.*
Voc.		Ζεῦ
Acc.		Δία
Gen.		Διός
Dat.		Διί

STEM. ENGLISH.	ἀνερ, *man*	γυναικ, *woman.*	τριχ, *hair.*	κλειδ, *key.*	κῠν and κῠον, *dog.*
Sing.					
Nom.	ὁ ἀνήρ	ἡ γυνή	ἡ θρίξ	ἡ κλείς	ὁ, ἡ κύων
Voc.	ἄνερ	γύναι	θρίξ	κλείς	κύον
Acc.	ἄνδρα	γυναῖκα	τρίχα	κλεῖν	κύνα
Gen.	ἀνδρός	γυναικός	τριχός	κλειδός	κυνός
Dat.	ἀνδρί	γυναικί	τριχί	κλειδί	κυνί
Dual.					
N. V. A.	ἄνδρε	γυναῖκε	τρίχε	κλεῖδε	κύνε
G. D.	ἀνδροῖν	γυναικοῖν	τριχοῖν	κλειδοῖν	κυνοῖν
Plur.					
N. V.	ἄνδρες	γυναῖκες	τρίχες	κλεῖδες	κύνες
Acc.	ἄνδρας	γυναῖκας	τρίχας	κλεῖς	κύνας
Gen.	ἀνδρῶν	γυναικῶν	τριχῶν	κλειδῶν	κυνῶν
Dat.	ἀνδράσι(ν)	γυναιξί(ν)	θριξί(ν)	κλεισί(ν)	κυσί(ν)

The stem of θρίξ is properly θριχ, but θ is changed to τ to avoid the double aspirate in θ and χ.

Stem **υιο, υιυ** (υίε), *son.*

	Sing.		**Dual.**	**Plur.**	
Nom.	ὁ υἱός		*N.V.A.* υἱεῖ	υἱοί	υἱεῖς
Voc.	υἱέ			υἱοί	υἱεῖς
Acc.	υἱόν			υἱούς	υἱεῖς
Gen.	υἱοῦ	υἱέος		υἱῶν	υἱέων
Dat.	υἱῷ	υἱεῖ	*G.D.* υἱέοιν	υἱοῖς	υἱέσι(ν)

υἱός has forms both of the second and third declensions. The change of υ in the stem to ε has been seen in πῆχυς, p. 24.

STEM. ENGLISH.	μαρτυρ, witness.	ναυ, ship.	χειρ, χερ, hand.	ὑδατ, water.
Sing. *Nom.*	ὁ μάρτυς	ἡ ναῦς	ἡ χείρ	τὸ ὕδωρ
Voc.	μάρτυς	ναῦ	χείρ	ὕδωρ
Acc.	μάρτυρα	ναῦν	χεῖρα	ὕδωρ
Gen.	μάρτυρος	νεώς	χειρός	ὕδᾰτος
Dat.	μάρτυρι	νηΐ	χειρί	ὕδᾰτι
Dual. *N. V. A.*	μάρτυρε	[νῆε]	χεῖρε	
G. D.	μαρτύροιν	νεοῖν	χεροῖν	
Plur. *N. V.*	μάρτυρες	νῆες	χεῖρες	ὕδᾰτα
Acc.	μάρτυρας	ναῦς	χεῖρας	ὕδᾰτα
Gen.	μαρτύρων	νεῶν	χειρῶν	ὑδάτων
Dat.	μάρτῠσι(ν)	ναυσί(ν)	χερσί(ν)	ὕδᾰσι(ν)

χείρ in poetry often has the short forms χερός, χερί, etc. In ναῦς the
υ of the stem appears as digamma before a vowel, the digamma then
dropping as in βασιλεύς, p. 25.

EXERCISE XXII.

1. γυναικὶ πάσῃ κόσμος ἐστὶν ἡ σιγή.   2. μακραὶ τῶν
βασιλέων αἱ χεῖρες.*   3. αἱ πόλεις γῆν καὶ ὕδωρ τῷ βασιλεῖ
διδόασιν.   4. οἱ Πέρσαι τὰς τῶν Ἑλλήνων ναῦς φοβοῦνται.
5. οἱ τῶν μαρτύρων λόγοι ψευδεῖς ἦσαν.   6. οἱ πιστοὶ κύνες τὸν
λῃστὴν φοβοῦσιν.   7. αἱ Μοῦσαι ἦσαν τοῦ Διὸς θυγατέρες.
8. αἱ λευκαὶ τρίχες αἰδοῦς ἄξιαί εἰσιν.   9. οἱ μὲν ἄνδρες
πόλεμον, αἱ δὲ γυναῖκες εἰρήνην ἐπαινοῦσιν.   10. οἱ υἱεῖς τῷ
πατρὶ χάριν ἔχουσιν.

1. The swift ships were full of men.   2. The boy strikes the
dog with his hand.   3. The pious citizens give honour to Zeus, the
king of the gods.   4. The judge was not well-disposed to the
witnesses.   5. The waters of the sea are deep.   6. Bravery is an
ornament to every man.   7. The fathers were temperate, the sons
intemperate.   8. The spears of the horse-soldiers are sharp.   9. The
hands of the old man are weak.   10. The charge of the children
is given to the women.

---

* The verbs ἐστί and εἰσί are often omitted.

X.—SOME IRREGULAR ADJECTIVES.

The following adjectives are irregular: μέγας, *great*, πολύς, *much* (in pl. *many*), and πρᾶος, *gentle*, the forms of each being derived from different stems, viz., in μέγας, from the stems μεγα and μεγαλο; in πολύς, from πολυ and πολλο; in πρᾶος, from πραο and πραϋ.

	Masc.	Fem.	Neut.	Masc.	Fem.	Neut.
Sing.						
Nom.	μέγας	μεγάλη	μέγα	πολύς	πολλή	πολύ
Voc.	μέγα	μεγάλη	μέγα			
Acc.	μέγαν	μεγάλην	μέγα	πολύν	πολλήν	πολύ
Gen.	μεγάλου	μεγάλης	μεγάλου	πολλοῦ	πολλῆς	πολλοῦ
Dat.	μεγάλῳ	μεγάλη	μεγάλῳ	πολλῷ	πολλῇ	πολλῷ
Dual.						
N. V. A.	μεγάλω	μεγάλᾱ	μεγάλω		No dual.	
G. D.	μεγάλοιν	μεγάλαιν	μεγάλοιν			
Plur.						
N. V.	μεγάλοι	μεγάλαι	μεγάλα	πολλοί	πολλαί	πολλά
Acc.	μεγάλους	μεγάλας	μεγάλα	πολλούς	πολλάς	πολλά
Gen.	μεγάλων	μεγάλων	μεγάλων	πολλῶν	πολλῶν	πολλῶν
Dat.	μεγάλοις	μεγάλαις	μεγάλοις	πολλοῖς	πολλαῖς	πολλοῖς

	Masc.	Fem.	Neut.	Plur.		
Sing.						
N. V.	πρᾶος	πραεῖα	πρᾶον	πρᾶοι / πραεῖς	πραεῖαι	πραέα
Acc.	πρᾶον	πραεῖαν	πρᾶον	πράους	πραείας	πραέα
Gen.	πράου	πραείας	πράου	πραέων	πραεϊῶν	πραέων
Dat.	πράῳ	πραείᾳ	πράῳ	πραέσι(ν)	πραείαις	πραέσι(ν)

οἱ πολλοί is used in the sense of *the multitude, people in general*: sometimes *the majority*.

EXERCISE XXIII.

1. τῷ Κροίσῳ ἦν πολὺς πλοῦτος. 2. τὰ μεγάλα δῶρα τῆς τύχης οἱ σοφοὶ φοβοῦνται. 3. οἱ εὐγενεῖς τοῖς ἐχθροῖς πρᾶοί εἰσιν. 4. μεγάλας τὰς προσόδους οἱ βασιλῆς ἔχουσιν. 5. οἱ πολλοὶ τοῦ δικαίου οὐκ ἀεὶ μνήμονές εἰσιν. 6. οἱ ποταμοὶ πλήρεις ἦσαν ἰχθύων μεγάλων. 7. ἡ πραεῖα μήτηρ ὑπὸ τῶν παίδων φιλεῖται. 8. ἐν τῇ Αἰγύπτῳ μεγάλη σίτου ἀφθονία ἦν. 9. οἱ γεωργοὶ πολλοὺς κύνας καὶ ἵππους ἔχουσιν. 10. οἱ πλούσιοι ἄσμενοι διδόασι τοῖς πένησι.

1. All men fear the great king.   2. In the swift ship there are
many sailors.   3. The queen has a gentle disposition.   4. The
multitude loves flatterers.   5. The painters were unknown and
poor.   6. They have a great and beautiful city.   7. The timid
soldiers fear many-things by night.   8. The tyrant gives much
gold to the graceful poet.   9. The true is related to the beautiful.
10. Many-men are hostile to the unfortunate.

XI.—COMPARISON OF ADJECTIVES.

The Comparative and Superlative are formed in two
ways.

I.—In τερος for the Comparative, τατος for the Super-
lative.   These, which are the usual endings, are affixed
to the Stem of the Masculine, as:

Positive.	Stem.	Comparative.	Superlative.
κοῦφος, *light*	κουφο	κουφό-τερος, *a, ον*	κουφό-τατος, *η, ον*
σοφός, *wise*	σοφο	σοφώ-τερος	σοφώ-τατος
γλυκύς, *sweet*	γλυκυ	γλυκύ-τερος	γλυκύ-τατος
μέλας, *black*	μελαν	μελάν-τερος	μελάν-τατος
μάκαρ, *blessed*	μακαρ	μακάρ-τερος	μακάρ-τατος
σαφής, *clear*	σαφες	σαφέσ-τερος	σαφέσ-τατος
χαρίεις, *graceful*	χαριετ	χαριέσ-τερος (for χαριετ-τερος)	χαριέσ-τατος
πένης, *poor*	πενητ	πενέσ-τερος	πενέσ-τατος

Obs. 1.—The final ο of the Positive is left unchanged in the
Comparative and Superlative (1) when the preceding syllable is
naturally long (*i.e.* consisting of a diphthong or a naturally long
vowel, as κοῦφος, ἰσχῡρός); (2) when the vowel of the preceding
syllable is followed by two consonants or a double consonant: as
πικρός, *bitter*, πικρό-τερος, πικρό-τατος; ἔνδοξος, *renowned*, ἐνδοξό-
τερος, ἐνδοξό-τατος.   If the vowel of the preceding syllable is short,
and is not followed by two consonants or a double consonant, the
final ο is lengthened to ω, as in σοφός above.

Obs. 2.—The following adjectives in αιος drop the final ο in the
Comparative and Superlative:

γεραιός, *aged*,   γεραί-τερος,   γεραί-τατος
παλαιός, *ancient*,   παλαί-τερος,   παλαί-τατος
σχολαῖος, *leisurely*, σχολαί-τερος, σχολαί-τατος

φίλος, *dear*, makes μᾶλλον φίλος, μάλιστα φίλος in prose: φίλτερος and φίλτατος are poetical forms. But ὦ φίλτατε and τὰ φίλτατα are exceptions, and are constantly met with in prose.

Obs. 3.—The following change o to αι:

> ἥσυχος, *calm,* ἡσυχαί-τερος, ἡσυχαί-τατος
> ἴσος, *equal,*　ἰσαί-τερος,　ἰσαί-τατος.

So μέσος, *middle*, ὄψιος, *late*, πρῷος, *early.*

Obs. 4.—The terminations εσ-τερος, εσ-τατος, are applied:
1. To adjectives in ων (Stem ον): as

Positive.	Stem.	Comparative.	Superlative.
σώφρων, *temperate*	σωφρον	σωφρον-έστερος	σωφρον-έστατος

2. To the adjectives ἄκρᾱτος, *unmixed*; ἐρρωμένος, *vigorous*; ἄσμενος, *glad*; ἄφθονος, *abundant*: as

Positive.	Comparative.	Superlative.
ἄκρᾱτος	ἀκρᾱτ-έστερος	ἀκρᾱτ-έστατος

3. To some contracted adjectives in -οος, -ους: as

Positive.	Comparative.	Superlative.
ἁπλόος, ἁπλοῦς, *simple*	ἁπλούστερος for ἁπλο-έστερος	ἁπλούστατος for ἁπλο-έστατος

So εὔνους, *well-disposed.*

Obs. 5.—The terminations ισ-τερος, ισ-τατος, occur with λάλος, *talkative,* and in a few other words.

Positive.	Comparative.	Superlative.
λάλος	λαλ-ίστερος	λαλ-ίστατος

23. The word 'than' after a Comparative is expressed either by ἤ, when the word following 'than' is placed in the same case as the word with which it is being compared, or more frequently ἤ is omitted, and its meaning expressed simply by the Genitive. Thus 'Wisdom is more precious than wealth' may be either ἡ σοφία τιμιωτέρα ἤ πλοῦτός ἐστιν, or ἡ σοφία πλούτου τιμιωτέρα ἐστίν. When 'than' is followed by a prepositional phrase, ἤ is to be used: as φρονιμώτερος ἐν πολέμῳ ἤ ἐν εἰρήνῃ, *more prudent in war than in peace.*

Exercise XXIV.

Comparative adjectives in -τερος are declined like φίλιος, superlative adjectives in -τατος like ἀγαθός.

A.—1. ὁ θάνατος τῷ βαθυτάτῳ ὕπνῳ ὅμοιός ἐστιν. 2. οἱ

γέροντες ἀσθενέστεροί εἰσι τῶν νέων. 3. ὁ κόραξ τὰς πτέρυγας μελαντάτας ἔχει. 4. οἱ λιμένες ταῖς ναυσὶν ἀσφαλέστεροί εἰσιν ἢ τὸ πέλαγος. 5. ἐν τῇ δυστυχίᾳ οἱ ἄνθρωποι σωφρονέστεροί εἰσιν ἢ ἐν τῇ εὐτυχίᾳ. 6. οἱ ἰσχυρότατοι ὑπὸ τῶν ἀσθενῶν ἐνίοτε νικῶνται. 7. οἱ φύλακες τοῖς ἄρχουσι πιστότατοί εἰσιν. 8. ὁ πατὴρ σοφώτερός ἐστι τῶν υἱέων. 9. τῷ ἀνδρειοτάτῳ στρατιώτῃ πολλὰ γέρα δίδοται. 10. οἱ εὐσεβεῖς εὐδαιμονέστατοί εἰσιν.

1. The philosopher is more self-controlled than the citizens. 2. The Indians are a very ancient nation. 3. The wisest men are not the most talkative. 4. The pious are happier than the impious. 5. The waters of the sea are deeper than the deepest river. 6. The Greeks were very well-disposed to orators. 7. The sword is sharper than the spear. 8. The queen's daughter was very graceful. 9. The sons are richer than their father. 10. He was the justest and most renowned of all the citizens.

24. The Article is used in all cases with μέν and δέ in the following senses: ὁ μέν . . . . ὁ δέ, *the one . . . the other ;* οἱ μέν . . . οἱ δέ, *some . . . others.*

B.—1. τῶν στρατιωτῶν οἱ μὲν ἀνδρεῖοι ἦσαν, οἱ δὲ δειλότατοι. 2. θέρους αἱ μὲν νύκτες βραχύταταί εἰσιν, αἱ δὲ ἡμέραι μακρόταται. 3. ὁ ἄδικος κριτὴς τῷ πλουσίῳ συγγνωμονέστερός ἐστιν ἢ τῷ πένητι. 4. οἱ θεοὶ τῶν γιγάντων ἰσχυρότεροι ἦσαν. 5. τοῖν ἀδελφοῖν ὁ μὲν σωφρονέστατός ἐστιν, ὁ δὲ ἀκρατέστατος.

1. The life of Socrates the philosopher was very simple. 2. The few are sometimes wiser than the many. 3. Some of the husbandmen are very poor, others are more fortunate. 4. Women are weaker than men. 5. Soldiers are more experienced in war than in husbandry.

II.—There is a second and rarer ending, confined to the following adjectives and to those given on p. 42, of -ιων in the Comparative, and -ιστος in the Superlative. The final vowel of the stem of the Positive is dropped.

Positive.	Stem.	Comparative.	Superlative.
ἡδύς, *pleasant*	ἡδυ	ἡδ-ίων	ἥδ-ιστος
ταχύς, *swift*	ταχυ	θάσσων or θάττων	τάχ-ιστος

(θάσσων is for ταχ-ιων. χι become σσ, and the aspirate of χ is transferred to the initial τ.)

μέγας, *great*	μεγα	μείζων (for μεγ-ιων)	μέγ-ιστος

In the following ρ is dropped as well as the final vowel of the stem.

ἐχθρός, *hostile*	ἐχθρο	ἐχθ-ίων		ἔχθ-ιστος
αἰσχρός, *base*	αἰσχρο	αἰσχ-ίων		αἴσχ-ιστος

Superlative adjectives in -ιστος are declined like ἀγαθός, comparative adjectives in -ιων like μείζων. μείζων is like σώφρων with the possibility of contraction in certain cases.

		Masc. and Fem.	Neut.
Sing.	N. V.	μείζων	μείζον
	Acc.	μείζονα, μείζω	μείζον
	Gen.	μείζονος	
	Dat.	μείζονι	
Dual.	N. V. A.	μείζονε	
	G. D.	μειζόνοιν	
Plur.	N. V.	μείζονες, μείζους	μείζονα, μείζω
	Acc.	μείζονας, μείζους	μείζονα, μείζω
	Gen.	μειζόνων	
	Dat.	μείζοσι(ν)	

EXERCISE XXV.

1. οὐδὲν θᾶττόν ἐστι τῆς ἥβης. 2. οἱ ὄφεις τοῖς ἄλλοις ζώοις ἔχθιστοί εἰσιν. 3. μεγίστην τὴν δύναμιν ὁ βασιλεὺς ἔχει. 4. οὐκ ἔστι μεῖζον ἀγαθὸν τοῖς ἀνθρώποις ἢ φιλία. 5. ὁ προδότης αἴσχιστός πάντων ἐστίν. 6. οἱ τάχιστοι ἵπποι πολλαῖς πληγαῖς οὐ τύπτονται. 7. ἡ ἀρετὴ τῆς κακίας ἡδίων καὶ ἰσχυροτέρα ἐστίν. 8. τὸ ἡδὺ τῷ ἀγαθῷ ἐνίοτε ἔχθιστόν ἐστιν. 9. τοῖν γραφέοιν τὸν μὲν ἐπαινεῖ, τὸν δὲ μέμφεται. 10. οἱ θεοὶ τῶν ἀνθρώπων μείζους εἰσίν.

1. There is nothing more hostile to a state than anarchy. 2. The greatest gifts are the pleasantest. 3. The dogs are swifter than the horse. 4. The deeds of the great king were most base. 5. The gods are more kindly-disposed to the temperate than to the intemperate. 6. The leader was in the swiftest ship. 7. The multitude hates philosophers and delights in orators. 8. The birds have very sharp talons. 9. Men are braver than women. 10. The wolves devour the bodies of the oxen. 11. The children are very dear to the parents.

III. Irregular Comparison from Different Stems.

Positive.	Comparative.	Superlative.
ἀγαθός, *good*	ἀμείνων	ἄριστος
	βελτίων	βέλτιστος
	λῴων (poet).	λῷστος (poet).
	κρείσσων or κρείττων	κράτιστος
	(*stronger*)	(*strongest*)
κακός, *bad*	κακίων	κάκιστος
	χείρων	χείριστος
	ἧσσων or ἧττων	ἥκιστα, adv.
	(*inferior*)	(*least*)
καλός, *beautiful*	καλλίων	κάλλιστος
μακρός, *long*	{ μακρότερος	{ μακρότατος
	{ μάσσων	{ μήκιστος
μῑκρός, *small*	μικρότερος or μείων	μικρότατος
ὀλίγος, *little*		ὀλίγιστος
(Plur. *few*)	ἐλάσσων or ἐλάττων	ἐλάχιστος
πολύς, *much*	πλείων, Neut. πλέον	πλεῖστος
(Plur. *many*)		
ῥᾴδιος, *easy*	ῥᾴων	ῥᾷστος
ἀλγεινός, *grievous*	ἀλγίων	ἄλγιστος

25. The Article is used not only with attributive adjectives, but also with prepositional phrases and adverbs, when these are equivalent to an attributive adjective.   Thus αἱ ἐν τῷ λιμένι νῆες, *the ships in the harbour*, (lit. *the in-the-harbour ships*); οἱ νῦν Ἕλληνες, *the Greeks of the present time*, (lit. *the now Greeks*).

26. The Article may be used alone with prepositional phrases and adverbs, just as it is used alone with adjectives.   Thus οἱ ἐν τῇ πόλει, *those in the city*; οἱ νῦν, *men of the present day*; τὰ ἐνθάδε, *things here*.

Exercise XXVI.

1. ἔμφυτός ἐστι τοῖς ἀνθρώποις ἡ τοῦ πλείονος ἐπιθυμία. 2. ἡ δουλεία τοῖς ἐλευθέροις ἀλγίστη ἐστίν.   3. ὁ φιλόσοφος τὰ πάλαι ἔθη ἐπαινεῖ.   4. ἡ γῆ τοῦ ἡλίου ἐλάττων ἐστίν.   5. οἱ ἐν τῷ ἄστει στρατιῶται τῶν ἐν τῷ στρατοπέδῳ πλείονες ἦσαν.   6. ἡ μικροτάτη νῆσος ὀλίγους λιμένας ἔχει.   7. οἱ νῦν τῶν πάλαι ἀμείνους εἰσίν.   8. τὸ ἔργον τοῖς μὲν ἀπείροις χαλεπώτατον ἦν,

τοῖς δὲ ἐμπείροις ῥᾷστον. 9. ἡ πλεονεξία μέγιστον ἀνθρώποις κακόν. 10. οὐδὲν κάλλιόν ἐστιν ἢ σοφία.

1. The-men in the island are most hostile to those on (ἐν) the mainland. 2. Most men are well-disposed to the poor. 3. Self-control is the best gift of the gods. 4. The citizens delight in their present good-fortune. 5. The best men are very few. 6. There is nothing baser than unjust gain. 7. The daughters are more beautiful than the mother. 8. Men of-the-present-day blame the-things of old. 9. Virtue is more precious than much wealth. 10. The worst men are sometimes more fortunate than the best.

IV.—FORMATION OF ADVERBS.

Adverbs may be formed from Adjectives by changing the last syllable of the Genitive Singular into -ως.

	Gen.	Adv.
σοφός, *wise*	σοφοῦ	σοφῶς
σώφρων, *temperate*	σώφρονος	σωφρόνως
εὐσεβής, *pious*	εὐσεβοῦς	εὐσεβῶς
ταχύς, *swift*	ταχέος	ταχέως

V.—COMPARISON OF ADVERBS.

For the Comparative degree the Neuter *Singular* of the Comparative adjective is used, and for the Superlative the Neuter *Plural* of the Superlative adjective: as

σοφῶς, *wisely*	σοφώτερον	σοφώτατα
σωφρόνως, *temperately*	σωφρονέστερον	σωφρονέστατα
εὐσεβῶς, *piously*	εὐσεβέστερον	εὐσεβέστατα
ταχέως, *swiftly*	θᾶσσον	τάχιστα

Sometimes the Neuter Singular of the adjective is used as an adverb, as ταχύ, *swiftly* (as well as ταχέως); πολύ, *much;* ὀλίγον, μικρόν, *little.*

The following are to be noted :—

εὖ, *well.*	ἄμεινον, *better.*	ἄριστα, *best.*
μάλα, *highly.*	μᾶλλον, *more highly* (*rather*).	μάλιστα, *most highly, most* (*especially*).
πολύ, *much.*	πλέον, *more.*	πλεῖστον or πλεῖστα, *most.*
ὀλίγον, μικρόν, *little.*	ἔλασσον, ἧσσον, μεῖον, *less.*	ἐλάχιστα, ἥκιστα, *least.*

Adverbs ending in -ω form the Comparative in -τερω, the Superlative in -τατω, as

ἄνω, up   ἀνωτέρω   ἀνωτάτω

Similarly,

ἐγγύς, near   ἐγγυτέρω   ἐγγυτάτω and ἐγγύτατα

27. Attributive adjectives and their equivalents, instead of coming between the article and substantive (the more usual order), may also be placed after the substantive, the article being then repeated a second time in front of them. Thus ὁ πρεσβύτερος ἀδελφός, *the elder brother*, may also be expressed ὁ ἀδελφὸς ὁ πρεσβύτερος, (lit. *the brother, the elder one*); οἱ ἐν τῇ πόλει στρατιῶται, *the soldiers in the city*, may become οἱ στρατιῶται οἱ ἐν τῇ πόλει; οἱ πάλαι Ἀθηναῖοι, *the Athenians of old*, may become οἱ Ἀθηναῖοι οἱ πάλαι.

<center>EXERCISE XXVII.</center>

πορεύεται, (*he*) *marches.*   πορεύονται, (*they*) *march.*
μάχεται, (*he*) *fights.*   μάχονται, (*they*) *fight.*

1. οἱ ἀληθῶς σοφοὶ εὐδαιμονέστατοί εἰσιν. 2. ἡ ὁδὸς ἡ ἀνωτέρω ἐστὶ τραχυτάτη. 3. οἱ ἱππῆς τοὺς γυμνῆτας ῥᾳδίως νικῶσιν. 4. οἱ ποιηταὶ οἱ πάλαι τῶν νῦν ἀμείνονες ἦσαν. 5. οἱ ἐλεύθεροι ἄμεινον δούλων μάχονται. 6. ὁ βασιλεὺς θᾶσσον τῶν πολεμίων πορεύεται. 7. οἱ νεανίαι πολὺ ἐρρωμενέστεροί εἰσι τῶν γερόντων. 8. ὁ πλούσιος τὸν βίον ἔχει μάλιστα ἡδύν. 9. ὁ κριτὴς τὸν φονέα θανάτῳ δικαιότατα κολάζει. 10. οἱ δίκαιοι οὐκ ἀεὶ εὐτυχέστατοι.

1. The enemy fight more bravely than the citizens. 2. The soldiers within the walls do not fear those outside. 3. He praises virtue well and wisely. 4. The leader marches very quickly into the enemy's country. 5. The Persians of old were most hostile to the Greeks. 6. The wise have a much happier life than the senseless. 7. The philosopher is overcome by persuasion more easily than by force. 8. The gods love the pious rather than the impious. 9. Husbandmen are clearly most experienced in agriculture. 10. The true witnesses are unjustly punished by the judge.

XII.—THE NUMERALS.

The *Cardinal*, *Ordinal*, and *Adverbial* Numerals, with their value and signs, are:—

1	α΄	εἷς, μία, ἕν, one	ὁ πρῶτος, η, ον, *the first*	ἅπαξ, *once*
2	β΄	δύο	δεύτερος, α, ον	δίς, *twice*
3	γ΄	τρεῖς, τρία	τρίτος, η, ον (all the following make η, ον)	τρίς, *thrice*
4	δ΄	τέσσᾰρες, τέσσᾰρα, or τέττᾰρες, τέττᾰρα	τέταρτος	τετράκις, *four times*
5	ε΄	πέντε	πέμπτος	πεντάκις
6	ϛ΄	ἕξ	ἕκτος	ἑξάκις
7	ζ΄	ἑπτά	ἕβδομος	ἑπτάκις
8	η΄	ὀκτώ	ὄγδοος	ὀκτάκις
9	θ΄	ἐννέα	ἔνατος	ἐνάκις
10	ι΄	δέκα	δέκατος	δεκάκις
11	ια΄	ἕνδεκα	ἑνδέκατος	ἑνδεκάκις
12	ιβ΄	δώδεκα	δωδέκατος	δωδεκάκις
13	ιγ΄	τρεῖς (τρία) καὶ δέκα	τρίτος καὶ δέκατος	τρισκαιδεκάκις
14	ιδ΄	τέσσαρες καὶ δέκα, τέσσαρα καὶ δέκα	τέταρτος καὶ δέκατος	τεσσαρεσκαιδεκάκις
15	ιε΄	πεντεκαίδεκα	πέμπτος καὶ δέκατος	πεντεκαιδεκάκις
16	ιϛ΄	ἑκκαίδεκα	ἕκτος καὶ δέκατος	ἑκκαιδεκάκις
17	ιζ΄	ἑπτακαίδεκα	ἕβδομος καὶ δέκατος	ἑπτακαιδεκάκις
18	ιη΄	ὀκτωκαίδεκα	ὄγδοος καὶ δέκατος	ὀκτωκαιδεκάκις
19	ιθ΄	ἐννεακαίδεκα	ἔνατος καὶ δέκατος	ἐννεακαιδεκάκις
20	κ΄	εἴκοσι(ν)	εἰκοστός	εἰκοσάκις
30	λ΄	τριάκοντα	τριάκοστός	τριᾱκοντάκις
40	μ΄	τεσσαρἄκοντα	τεσσαρᾱκοστός	τεσσαρἄκοντάκις
50	ν΄	πεντήκοντα	πεντηκοστός	πεντηκοντάκις
60	ξ΄	ἑξήκοντα	ἑξηκοστός	ἑξηκοντάκις
70	ο΄	ἑβδομήκοντα	ἑβδομηκοστός	ἑβδομηκοντάκις
80	π΄	ὀγδοήκοντα	ὀγδοηκοστός	ὀγδοηκοντάκις
90	Ϙ΄	ἐνενήκοντα	ἐνενηκοστός	ἐνενηκοντάκις
100	ρ΄	ἑκατόν	ἑκατοστός	ἑκατοντάκις
200	σ΄	διᾱκόσιοι, αι, α	διακοσιοστός	διακοσιάκις
300	τ΄	τριᾱκόσιοι, αι, α	τριακοσιοστός	τριακοσιάκις
400	υ΄	τετρᾱκόσιοι, αι, α	τετρακοσιοστός	τετρακοσιάκις
500	φ΄	πεντᾱκόσιοι, αι, α	πεντακοσιοστός	πεντακοσιάκις
600	χ΄	ἑξᾱκόσιοι, αι, α	ἑξακοσιοστός	ἑξακοσιάκις
700	ψ΄	ἑπτᾱκόσιοι, αι, α	ἑπτακοσιοστός	ἑπτακοσιάκις
800	ω΄	ὀκτᾱκόσιοι, αι, α	ὀκτακοσιοστός	ὀκτακοσιάκις
900	ϡ	ἐνᾱκόσιοι, αι, α	ἐνακοσιοστός	ἐνακοσιάκις
1000	͵α	χίλιοι, αι, α	χιλιοστός	χιλιάκις
2000	͵β	δισχίλιοι, αι, α	δισχιλιοστός	δισχιλιάκις
3000	͵γ	τρισχίλιοι, αι, α	τρισχιλιοστός	τρισχιλιάκις
10000	͵ι	μύριοι, αι, α	μυριοστός	μυριάκις
20000	͵κ	δισμύριοι	δισμυριοστός	δισμυριάκις

The Cardinal Numbers 1 to 4 are thus declined:—

| | *One.* | | | *Two.* |
	M.	F.	N.	
Nom.	εἷς	μία	ἕν	*N. A.* δύο
Acc.	ἕνα	μίαν	ἕν	
Gen.	ἑνός	μιᾶς	ἑνός	*G. D.* δυοῖν
Dat.	ἑνί	μιᾷ	ἑνί	

| | *Three.* | | *Four.* | |
	M. F.	N.	M. F.	N.
Nom.	τρεῖς	τρία	τέσσαρες, or τέτταρες, etc.	τέσσαρα
Acc.	τρεῖς	τρία	τέσσαρας	τέσσαρα
Gen.	τριῶν		τεσσάρων	
Dat.	τρισί(ν)		τέσσαρσι(ν)	

NOTE 1.—Like εἷς are declined in all genders, οὐδείς, οὐδεμία, οὐδέν, *no one, no* (adj.) (for οὐδὲ εἷς, *not even one*), and μηδείς, *no one* (for μηδὲ εἷς, *not even one*). For the present οὐδείς only is to be used. Both words are also found in the Pl.

2.—ἄμφω (Nom. and Accus.), *both*, has Gen. and Dat. ἀμφοῖν, like δύο. It is used with the article and has the predicative position: as ἄμφω τὼ πόδε, *both feet.*

3.—Multiples of a thousand, up to ten thousand, are formed by prefixing an adverbial numeral to χίλιοι, *a thousand.* Thus 4000 is τετρακισχίλιοι, lit. *four times a thousand.*

4.—Compound numbers above 20 either retain the English order, or begin with the smallest number and insert καί. Thus 125 may be ἑκατὸν εἴκοσι πέντε, or πέντε καὶ εἴκοσι καὶ ἑκατόν; 125th either ἑκατοστὸς εἰκοστὸς πέμπτος, or πέμπτος καὶ εἰκοστὸς καὶ ἑκατοστός.

28. The definite point of time is denoted by the Dative: as τῇ τρίτῃ ἡμέρᾳ, *on the third day* ; τῷ τετάρτῳ ἔτει, *in the fourth year.**

For 'indefinite time when' see Par. 17.

29. Duration of time is expressed by the Accusative: as τρεῖς ἡμέρας μένει, *he remains three days (for three days).*

EXERCISE XXVIII.

ἄγει, (*he*) *leads.*   ἄγουσι(ν), (*they*) *lead.*
μένει, (*he*) *remains.*   μένουσι(ν), (*they*) *remain.*

1. τῶν ἑπτὰ σοφώτατος ἦν ὁ Σόλων.   2. τὸ πλέθρον ἔχει τέτταρας καὶ ἑκατὸν πόδας.   3. χειμῶνος αἱ νῆες ἐν λιμένι τρεῖς μῆνας μένουσιν.   4. τρίτῳ καὶ δεκάτῳ ἔτει τοῦ πολέμου οἱ

* χείμων and θέρος may be used   *winter, in summer*, with the same
alone in the Dat. to denote *in*   meaning as in the Gen.

βάρβαροι νικῶνται. 5. ὁ παρασάγγης, Περσικὸν μέτρον, ἔχει
τριάκοντα στάδια ἢ πεντήκοντα καὶ ἑπτακοσίους καὶ ὀκτακισχιλίους
καὶ μυρίους πόδας. 6. τῇ δευτέρᾳ ἡμέρᾳ ὁ στρατηγὸς τρισχιλίους
ἑξακοσίους ὁπλίτας εἰς τὴν πόλιν ἄγει. 7. ἐν τῷ στρατεύματι
ἦσαν ἱππῆς μὲν δισχίλιοι, γυμνῆτες δὲ ἑξακόσιοι ἑβδομήκοντα.
8. ἓν ἔτος καὶ ἐννέα μῆνας ὁ νεανίας φυγάς ἦν. 9. οἱ ἄνδρες οἱ
ἐν τῇ νήσῳ τοὺς ἐν τῇ ἠπείρῳ σαφῶς μισοῦσιν. 10. ἡ ἐγγυτάτω
πόλις πλείστους νεὼς ἔχει.

1. There are in the army seven thousand horse-soldiers and two
hundred and thirty-six chariots. 2. The year has twelve months
and three hundred and sixty-five days. 3. On the twenty-fourth
day of the fifth month the whole city is conquered. 4. No one
blames the most renowned orator. 5. The number of the citizens
was thirty-eight thousand, nine hundred and eighty. 6. They
remain in the camp for two months and a few days. 7. The philo-
sophers of-the-present-day are not wiser than Plato. 8. The king
leads five thousand heavy-armed-men out of the city. 9. Self-
control is the first and best of all the virtues. 10. For many days
the soldiers fight most bravely.

XIII.—THE PRONOUNS.

1. Personal Pronouns.

		First Person. I.	Second Person. you (thou).
Sing.	Nom.	ἐγώ	Nom. Voc. σύ
	Acc.	ἐμέ, με	σέ
	Gen.	ἐμοῦ, μου	σοῦ
	Dat.	ἐμοί, μοι	σοί
Dual.	N. A.	νώ	σφώ
	G. D.	νῷν	σφῷν
Plur.	Nom.	ἡμεῖς	Nom. Voc. ὑμεῖς
	Acc.	ἡμᾶς	ὑμᾶς
	Gen.	ἡμῶν	ὑμῶν
	Dat.	ἡμῖν	ὑμῖν

There is no separate form in Greek for the nominative
of the third personal pronoun. Its oblique cases are as
follows :—

		him	her	it
Sing.	Acc.	αὐτόν	αὐτήν	αὐτό
	Gen.	αὐτοῦ	αὐτῆς	αὐτοῦ
	Dat.	αὐτῷ	αὐτῇ	αὐτῷ
Dual.	Acc.	αὐτώ	αὐτώ	αὐτώ
	G. D.	αὐτοῖν	αὐτοῖν	αὐτοῖν
Plur.	Acc.	αὐτούς	αὐτάς	αὐτά
	Gen.	αὐτῶν	αὐτῶν	αὐτῶν
	Dat.	αὐτοῖς	αὐταῖς	αὐτοῖς

αὐτός in the nominative is an Adjective Pronoun with the meaning of *self*, a meaning it may also have in the oblique cases. By a combination of the Personal Pronouns with αὐτός, *self*, we get the following :—

2. THE REFLEXIVE PRONOUNS.

	Singular.		Plural.	
	Masc.	Fem.	Masc.	Fem.
Acc.	ἐμαυτόν	ήν, *myself.*	ἡμᾶς αὐτούς	άς, *ourselves.*
Gen.	ἐμαυτοῦ	ῆς	ἡμῶν αὐτῶν	
Dat.	ἐμαυτῷ	ῇ	ἡμῖν αὐτοῖς	αἷς
Acc.	σεαυτόν or σαυτόν	ήν, *yourself* ήν (*thyself*).	ὑμᾶς αὐτούς άς *yourselves.*	
Gen.	σεαυτοῦ or σαυτοῦ	ῆς, ῆς	ὑμῶν αὐτῶν	
Dat.	σεαυτῷ or σαυτῷ	ῇ, ῇ	ὑμῖν αὐτοῖς αἷς	

In the third person there is a Direct Reflexive and an Indirect Reflexive. The Direct refers to the subject of the sentence or clause in which it stands, as 'he injured himself,' 'he said that he had injured himself.' The Indirect occurs only in subordinate clauses, and refers not to the subject of its own clause, but to the subject of the principal clause, as 'he said that the king had injured him.' For the present we shall be concerned only with Direct Reflexives.

THIRD PERSON INDIRECT REFLEXIVE.

himself, herself, itself.

	Sing.		Plural.
		Nom.	σφεῖς
Acc.	(ἕ)		σφᾶς
Gen.	(οὗ)		σφῶν
Dat.	οἷ		σφίσι(ν)

The Direct Reflexive is formed by the combination of ἑ- with αὐτός, self.

THIRD PERSON DIRECT* REFLEXIVE.

himself, herself, itself.

	Sing.			Plural.		
	Masc.	Fem.	Neut.	Masc.	Fem.	Neut.
Acc.	ἑαυτόν, or αὐτόν	ἑαυτήν, or αὐτήν	ἑαυτό, or αὐτό	ἑαυτούς or αὐτούς	άς etc.	ά etc.
Gen.	ἑαυτοῦ or αὐτοῦ	ἧς etc.	τοῦ etc.	ἑαυτῶν etc.	ὧν	ὧν
Dat.	ἑαυτῷ etc.	ᾗ	ᾧ	ἑαυτοῖς etc.	αἷς	οἷς

The Plural has sometimes the forms σφᾶς αὐτούς, -άς, σφῶν αὐτῶν, σφίσιν αὐτοῖς, -αῖς.

3. THE RECIPROCAL PRONOUN.

The Stem ἀλλο, another, combined with itself, produces the following Reciprocal Pronoun.

	Masc.	Fem.	Neut.
Dual.			
Acc.	ἀλλήλω, one another.	ἀλλήλω	ἀλλήλω
G. D.	ἀλλήλοιν	ἀλλήλοιν	ἀλλήλοιν
Plur.			
Acc.	ἀλλήλους	ἀλλήλας	ἄλληλα
Gen.	ἀλλήλων	ἀλλήλων	ἀλλήλων
Dat.	ἀλλήλοις	ἀλλήλαις	ἀλλήλοις

30. The Genitive of personal and reflexive pronouns may be used in the sense of a possessive pronoun. The genitive of a personal pronoun is placed outside the

---

* Often also Indirect.

article and substantive, as ἡμῶν ἡ πόλις, or ἡ πόλις ἡμῶν, *our city*, (lit. *the city of us*); ὁ ἀδελφὸς αὐτοῦ, *his brother*. The genitive of a reflexive pronoun is usually placed between the article and substantive, as ὁ σαυτοῦ ἀδελφός, *your own brother;* τὴν ἑαυτῶν πατρίδα φιλοῦσιν, *they love their own country.*

EXERCISE XXIX.

The longer forms of ἐγώ are used (1) when emphasis is laid upon the word, (2) after prepositions.

You and *your* are always to be taken as referring to the singular number, except when the context makes them unmistakably plural. *Thou* and *thy* are not to be used in English.

1. οἱ πλεῖστοι ἑαυτοῖς συγγνώμονές εἰσιν. 2. οἱ πολέμιοι εἰς τὴν χώραν ἡμῶν ταχὺ πορεύονται. 3. οὔτ' ἐμοὶ οὔτε σοὶ πατρίς ἐστιν. 4. ὁ τύραννος τὸν ἑαυτοῦ υἱὸν φοβεῖται. 5. ὑμᾶς, ὦ πολῖται, ὁ βασιλεὺς ἐπαινεῖ. 6. οἱ πονηροὶ ἀλλήλοις ἐχθροί εἰσιν. 7. οἱ ἄρχοντες αὐτῷ εὐνούστατοι ἦσαν. 8. ὁ πατήρ μου ἑπτὰ ἡμέρας ἐν πόλει* μένει. 9. οἱ παῖδες αὐτοῦ ἡμῖν φίλτατοί εἰσιν. 10. οἱ ἐν τῷ στρατοπέδῳ ἦσαν ἀριθμῷ δισχίλιοι τριακόσιοι.

1. The truly wise do not praise their own wisdom. 2. He gives them most beautiful gifts. 3. Your own father blames you. 4. Their horses are very swift. 5. All men naturally love themselves. 6. They admire him, but blame us. 7. Your brother easily overcomes our leader. 8. On the tenth day of the third month they march into the town. 9. His father praises the customs of-former-times. 10. To you, O husbandmen, the gods give many good things.

4. POSSESSIVE ADJECTIVE PRONOUNS.

These are :—

ἐμός, ἐμή, ἐμόν, *my, mine.*

σός, σή, σόν, *your, yours,* (*thy, thine*), addressed to only one person.

ἡμέτερος, ἡμετέρα, ἡμέτερον, *our, ours.*

ὑμέτερος, ὑμετέρα, ὑμέτερον, *your, yours,* addressed to more persons than one.

ἐμός and σός are declined in all numbers like ἀγαθός, ἡμέτερος and ὑμέτερος like φίλιος. σός and ὑμέτερος have no Voc.†

---

* With words like 'city,' 'town,' 'sun,' 'moon,' 'sky,' which are used almost as proper nouns, the article is very often omitted in the oblique cases.

† ὅς, ἥ, ὅν, *his, her, its,* is poetical; σφέτερος, -α, -ον, *their,* is rare in prose. Neither is to be used.

These pronouns are to be preceded by the article: as ὁ
ἐμὸς πατήρ, *my father*. They may also, like all attributive
adjectives (see Par. 27), come after the substantive, the
article being repeated a second time in front of them.
Thus ὁ ἐμὸς πατήρ may also be expressed ὁ πατὴρ ὁ ἐμός.

31. The Dative is used, with verbs expressing military
operations, to denote accompaniment: as πολλοῖς στρατιώταις
πορεύεται, *he marches with many soldiers.*

EXERCISE XXX.

In the English exercise below use, for the sake of practice, the
possessive adjective pronouns of the first and second persons, instead
of the genitives of the corresponding personal pronouns. In the third
person the genitive forms alone are to be used.

1. ὁ στρατηγὸς τῷ ἑαυτοῦ υἱεῖ τοὺς ἀρίστους στρατιώτας δίδωσι.
2. ἡ ἡμετέρα πατρὶς ἡμῖν φιλτάτη ἐστίν. 3. πολλοὶ τὸν ἀδελφὸν
τὸν σὸν δικαίως μέμφονται. 4. οἱ γυμνῆτες τῶν ὁπλιτῶν πολὺ
θάσσονές εἰσιν. 5. οἱ ὑμῶν αὐτῶν σύμμαχοι ἄκοντες μάχονται.
6. οἱ ἐμοὶ δοῦλοι τῶν σῶν πιστότεροί εἰσιν. 7. ὁ ἡγεμὼν εἰς τὴν
ἡμετέραν πόλιν τετρακισχιλίοις στρατιώταις πορεύεται. 8. αἱ
θυγατέρες αὐτῆς εἰσι κάλλισται. 9. αἱ νῆες αἱ ἡμέτεραι ὑπὸ τῶν
Δωριῶν νικῶνται τῇ ἐνάτῃ ἡμέρᾳ. 10. οὐδεὶς ἐπαινεῖ αὐτόν.

1. Some of the soldiers have spears, others swords. 2. The
brothers were not very well-disposed to one another. 3. The
worst children do not love their parents. 4. Every husbandman
praises his own vines. 5. Your deeds are a glory to yourself, not
to the whole city. 6. My brother is stronger than yours. 7. The
citizens admire your wisdom, O poets. 8. The enemy with five
thousand horse-soldiers overcome our army. 9. He blames me
rather than them. 10. For three days his father was in my house.

5. THE DEMONSTRATIVE PRONOUNS.

1. ὅδε, ἥδε, τόδε, } *this*
2. οὗτος, αὕτη, τοῦτο, }
3. ἐκεῖνος, ἐκείνη, ἐκεῖνο, *that*

ὅδε, ἥδε, τόδε follows the declension of the definite article.

	Masc.	Fem.	Neut.	Masc.	Fem.	Neut.
Sing.				Plur.		
N. V.	οὗτος	αὕτη	τοῦτο	οὗτοι	αὗται	ταῦτα
Acc.	τοῦτον	ταύτην	τοῦτο	τούτους	ταύτας	ταῦτα
Gen.	τούτου	ταύτης	τούτου	τούτων	τούτων	τούτων
Dat.	τούτῳ	ταύτῃ	τούτῳ	τούτοις	ταύταις	τούτοις

E 2

οὗτος has only two forms in the Dual, τούτω and τούτοιν common to *all* genders.

ἐκεῖνος has a nominative plural ἐκεῖνοι, ἐκεῖναι, ἐκεῖνα, and in the oblique cases is declined like αὐτός. So ἄλλος, ἄλλη, ἄλλο, *another, other.*

The difference in meaning between οὗτός and ὅδε is that ὅδε is more vividly demonstrative, meaning *this here, this by me.* In actual translation, however, it is to be rendered simply by ' this.'

ταῦτα often means *as aforesaid,* as distinguished from τάδε, *as follows.*

When these pronouns are used in agreement with a substantive, the substantive must always be preceded by the article, and the pronouns must occupy the predicative position. Thus οὗτος ὁ ἀνήρ, or ὁ ἀνὴρ οὗτος, *this man;* ἐκείνη ἡ χώρα, or ἡ χώρα ἐκείνη, *that land.*

Like οὗτος are declined :—

τοσοῦτος　τοσαύτη　τοσοῦτο or τοσοῦτον, *so great (tantus)*
τοιοῦτος　τοιαύτη　τοιοῦτο or τοιοῦτον, *such (talis)*
τηλικοῦτος τηλικαύτη τηλικοῦτο or τηλικοῦτον, *so old.*

But the initial τ of the oblique cases of οὗτος is dropped; thus the Genitive of τοσοῦτος is τοσούτου, τοσαύτης, τοσούτου.

32. The Accusative is used to denote extent of space : as ἡ πόλις ἀπέχει τριάκοντα παρασάγγας, *the city is distant thirty parasangs.*

EXERCISE XXXI.

1. οἱ λόγοι ἐκείνου τοῦ μάντεως ἀληθέστατοι ἦσαν. 2. ὁ πατήρ σου ταύτας τὰς πράξεις μέμφεται. 3. οὗτοι ἑκατὸν στάδια μιᾷ ἡμέρᾳ πορεύονται. 4. τοιοῦτοι ἦσαν οἱ ἄνδρες οἱ πάλαι. 5. τὰ ἄνθη τάδε κάλλιστά ἐστι. 6. ἡ πόλις ἡ ἡμετέρα ἐν τοσούτῳ κινδύνῳ ἦν. 7. ὁ βασιλεὺς ἐκεῖνος ἔχει ἀξιόχρεων δύναμιν. 8. ταῦτα σοὶ βαρύτερά ἐστιν ἢ αὐτῷ. 9. οὗτοι οἱ δοῦλοι τῷ ἑαυτῶν δεσπότῃ ἄπιστοί εἰσιν. 10. τήνδε τὴν γνώμην ἐπαινεῖ ὃ σὸς ἀδελφός.

1. Those laws are most just. 2. The soldiers fear these portents. 3. On the first day our general marches eighty stadia. 4. This man was most brave in word, but most cowardly in deed. 5. That father does not love his own sons. 6. He gives this gift to my own brother. 7. Such are the opinions of the poets. 8. These things

are pleasanter to you yourself than to me. 9. This city has very high walls. 10. No one praises such things.

6. The Definitive Pronouns.

αὐτός, *self;* ὁ αὐτός, *the same.*

αὐτός in the nominative singular has the forms αὐτός, αὐτή, αὐτό, and in the nominative plural αὐτοί, αὐταί, αὐτά. Its oblique cases have been already given (p. 48).

When used alone in the nominative it has the meanings *I myself, you yourself, he himself,* etc., according to the pronoun which is understood: as αὐτὸς ἔφησθα, *you yourself said so.* When used in agreement with substantives, both in the nominative and oblique cases, and when not preceded by the article, it has the meanings *himself, herself,* etc., as ὁ βασιλεὺς αὐτός, *the king himself.*

When preceded by the article it means *the same,* as ὁ αὐτὸς βασιλεύς, *the same king.*

The safest rule is to copy the order of the English words: *the same man,* ὁ αὐτὸς ἀνήρ ; *the man himself,* ὁ ἀνὴρ αὐτός.

ὁ αὐτός sometimes contracts as follows:

		Masc.	Fem.	Neut.
Sing.	Nom.	ὁ αὐτός αὐτός	ἡ αὐτή αὐτή	τὸ αὐτό ταὐτό or ταὐτόν
	Acc.	τὸν αὐτόν	τὴν αὐτήν	τὸ αὐτό ταὐτό or ταὐτόν
	Gen.	τοῦ αὐτοῦ ταὐτοῦ	τῆς αὐτῆς	τοῦ αὐτοῦ ταὐτοῦ
	Dat.	τῷ αὐτῷ ταὐτῷ	τῇ αὐτῇ ταὐτῇ	τῷ αὐτῷ ταὐτῷ
Dual.	N. A.	τὼ αὐτώ ταὐτώ	τὼ αὐτώ ταὐτώ	τὼ αὐτώ ταὐτώ
	G. D.	τοῖν αὐτοῖν	τοῖν αὐτοῖν	τοῖν αὐτοῖν
Plur.	Nom.	οἱ αὐτοί αὐτοί	αἱ αὐταί αὐταί	τὰ αὐτά ταὐτά
	Acc.	τοὺς αὐτούς	τὰς αὐτάς	τὰ αὐτά ταὐτά
	Gen.	τῶν αὐτῶν	τῶν αὐτῶν	τῶν αὐτῶν
	Dat.	τοῖς αὐτοῖς	ταῖς αὐταῖς	τοῖς αὐτοῖς

Exercise XXXII.

1. οἱ αὐτοὶ τὰ αὐτὰ οὐκ ἀεὶ φιλοῦσι. 2. πάντες ἄνθρωποι τῷ αὐτῷ τρόπῳ ἀγαθοί εἰσιν. 3. ὁ στρατηγὸς αὐτὸς τούτους τοὺς κινδύνους φοβεῖται. 4. τῇ αὐτῇ ἡμέρᾳ ὁ τύραννος ἑκατὸν πολίτας ἀποκτείνει. 5. αἱ Μοῦσαι αὐταὶ τοῦτον τὸν ποιητὴν θαυμάζουσιν. 6. οἱ βάρβαροι οὐ σιγῇ μάχονται, ἀλλὰ μεγάλῃ κραυγῇ. 7. ἡμῖν τε καὶ ὑμῖν τὰ αὐτὰ γέρα διδόασιν. 8. οἱ κακοὶ πολλάκις μισοῦσιν ἀλλήλους. 9. ὅδε ἐν τῷ ἑαυτοῦ οἴκῳ μένει. 10. οἱ νόμοι τοῦ βασιλέως αὐτοῦ κρείσσονές εἰσιν.

1. My brother himself blames you. 2. The same things are not pleasing to me and to you. 3. They themselves have nothing. 4. The best men love virtue itself. 5. The children of the same parents are often most unlike one another. 6. The general kills the soldier with his own hand. 7. In the same island there are very many kinds both of wild-beasts and birds. 8. To that poet nothing was more pleasant than praise. 9. He himself is most hostile to himself. 10. For three days our leader remains unwillingly in the camp.

7. The Interrogative and Indefinite Pronouns.

1. Interrogative, τίς, τί, who, what?
2. Indefinite, τις, τι, anyone, anything, some one, some thing, some, a certain.

Note.—The Indefinite differs from the Interrogative in having no accent. Its dissyllabic forms, however, are accented upon the last syllable when they follow a word which has an acute accent upon its last syllable but one, as λόγοι τινές, some words.

	Interrogative.		Indefinite.	
Singular.	Masc. & Fem.	Neut.	Masc. & Fem.	Neut.
Nom.	τίς	τί	τις	τι
Acc.	τίνα	τί	τινά	τι
Gen.	τίνος		τινός	
Dat.	τίνι		τινί	
Dual.				
Nom. Acc.	τίνε		τινέ	
Gen. Dat.	τίνοιν		τινοῖν	
Plural.				
Nom.	τίνες	τίνα	τινές	τινά (ἄττα)
Acc.	τίνας	τίνα	τινάς	τινά (ἄττα)
Gen.	τίνων		τινῶν	
Dat.	τίσι(ν)		τισί(ν)	

τοῦ, τῷ are often used for τίνος, τίνι, and του, τῳ for τινός, τινί.

8. Relative Pronouns.

1. ὅς, ἥ, ὅ, *who, which.*

2. ὅστις, ἥτις, ὅτι, compounded from ὅς and τις, *who-ever, whatever, who* (when *who* refers to an indefinite antecedent).

ὅς is used of definite persons or things, ὅστις of a general, indefinite class of persons or things : as ὄλβιος ὅστις οὐσίαν καὶ νοῦν ἔχει, *happy is he who has property and intelligence.* ὅστις is consequently used after negative clauses : as οὐδείς ἐστιν ὅστις οὐ τοῦτον φιλεῖ, *there is no one who does not love this man.*

ὅστις is also used as the Indirect Interrogative : as εἰπέ μοι ὅτι βούλει, *tell me what you wish.*

	M.	F.	N.	Masc.	Fem.	Neut.
Sing.						
Nom.	ὅς	ἥ	ὅ	ὅς-τις	ἥ-τις	ὅ-τι
Acc.	ὅν	ἥν	ὅ	ὅν-τινα	ἥν-τινα	ὅ-τι
Gen.	οὗ	ἧς	οὗ	ὅτου	ἧς-τιν ος	ὅτου
Dat.	ᾧ	ᾗ	ᾧ	ὅτῳ	ᾗ-τινι	ὅτῳ
Dual.						
N. A.	ὥ	ὥ	ὥ	ὥ-τινε	ὥ-τινε	ὥ-τινε
G. D.	οἷν	οἷν	οἷν	ὅτοιν	ὅτοιν	ὅτοιν
Plur.						
Nom.	οἵ	αἵ	ἅ	οἵ-τινες	αἵ-τινες	ἅττα
Acc.	οὕς	ἅς	ἅ	οὕς-τινας	ἅς-τινας	ἅττα
Gen.	ὧν	ὧν	ὧν	ὅτων	ὅτων	ὅτων
Dat.	οἷς	αἷς	οἷς	ὅτοις	αἷς-τισι(ν)	ὅτοις

33. The Relative agrees with the Antecedent in gender and number, but its case is determined by its own clause : as οὗτος ὁ στρατηγὸς, ὃν οἱ πολῖται θαυμάζουσιν, ἄπιστός ἐστιν, *this general, whom the citizens admire, is faithless.*

Exercise XXXIII.

1. ὁ βασιλεὺς οὐκ ἀεὶ τοὺς ἄνδρας φιλεῖ οἷς δίδωσι δῶρα. 2. τί ἐστι βλαβερώτατον ἀνθρώποις ; αὐτοὶ ἑαυτοῖς. 3. οὗτοί εἰσιν οἱ λόγοι ποιητοῦ τινος. 4. ἐκεῖνος εὐδαιμονέστατος, ὅστις σοφίαν

ἔχει.　5. τίς ἐστιν ὁ φιλόσοφος ὃν πάντες θαυμάζουσι;　6. ὁ εὐσεβὴς τοὺς θεοὺς φοβεῖται, ὧν μεγίστη ἡ δύναμις.　7. τίς ἐστιν ὅστις τοῦτον τὸν ῥήτορα οὐκ ἐπαινεῖ;　8. τὴν δουλείαν μέμφεται, ἐν ᾗ πολλὰ κακά ἐστιν.　9. ἃ οἱ πολλοὶ θαυμάζουσι, ταῦτα ὁ σὸς ἀδελφὸς μισεῖ.　10. πλούσιός ἐστιν ὅτῳ ἱκανά ἐστιν.

1. He gives to his sons whatever he has.　2. There are few who praise poverty.　3. These soldiers, whom the king himself leads, are most experienced in war.　4. There is no one who is not indulgent to himself.　5. By some good chance the enemy are conquered by our leader.　6. Who are the truly wise?　7. The gods give something good to a good man.　8. Whoever are prudent are safest.　9. Of what father and mother is the bride?　10. The citizens admire this temple, in which there is much gold.

═══════════

XIV.—THE AUXILIARY VERB εἰμί, *I am.*

(Stem ἐσ.)

Mood.	Number	Person.	Present.	Imperfect.	Future.
Indicative.	S.	1	εἰμί, *I am.*	ἦ or ἦν, *I was.*	ἔσομαι, *I shall be.*
		2	εἶ	ἦσθα	ἔσῃ or ἔσει
		3	ἐστί(ν)	ἦν	ἔσται
	D.	2	ἐστόν	ἦστον or ἦτον	ἔσεσθον
		3	ἐστόν	ἤστην or ἤτην	ἔσεσθον
	P.	1	ἐσμέν	ἦμεν	ἐσόμεθα
		2	ἐστέ	ἦτε	ἔσεσθε
		3	εἰσί(ν)	ἦσαν	ἔσονται
Imperative.	S.	2	ἴσθι, *be.*		
		3	ἔστω, *let him be.*		
	D.	2	ἔστον		
		3	ἔστων		
	P.	2	ἔστε		
		3	ὄντων		

Mood.	Number.	Person.	Present.	Future.
Subjunctive.	S.	1	ὦ	
		2	ᾖς	
		3	ᾖ	
	D.	2	ἦτον	
		3	ἦτον	
	P.	1	ὦμεν	
		2	ἦτε	
		3	ὦσι(ν)	
Optative.	S.	1	εἴην	ἐσοίμην
		2	εἴης	ἔσοιο
		3	εἴη	ἔσοιτο
	D.	2	εἶτον	ἔσοισθον
		3	εἴτην	ἐσοίσθην
	P.	1	εἶμεν	ἐσοίμεθα
		2	εἶτε	ἔσοισθε
		3	εἶεν	ἔσοιντο
Infinitive.			εἶναι, to be.	ἔσεσθαι, to be [about to be.
Participle.			M. ὤν, being. Gen. ὄντος	M. ἐσόμενος, about to be.
			F. οὖσα οὔσης	F. ἐσομένη
			N. ὄν ὄντος	N. ἐσόμενον
			decl. like ἑκών	

Subjunctive Mood

1. The Subjunctive has the meaning of 'may' when it follows 'that,' in the sense of 'in order that,' and one of the Primary tenses, *i.e.* the Present, the Present Perfect (compounded with *have*), or the Future: as

> We fight
> We *have* fought ⎱ that we may be free.
> We will fight ⎰ ἵνα ἐλεύθεροι ὦμεν.

2. The Subjunctive, when used as the principal verb in a sentence, has, in the first person plural, the meaning of an Imperative: as ὦμεν δίκαιοι, let us be just. But for the English word *let*, whether in a positive or negative sentence, use the Imperative Mood where possible: e.g. let not *this* be said, μὴ ταῦτα εἰρήσθω.

34. The Negative when used (1) with an Imperative, (2) with a Subjunctive which has the meaning of an Imperative, (3) after the conjunction ἵνα, is to be rendered by μή.

EXERCISE XXXIV.

Indicative, Imperative, and Subjunctive Moods.

1. ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.   2. οὐκ ἔσονται ἄξιοι τῆς ἐλευθερίας, ἣν ἔχουσιν.   3. πάλαι μὲν ἔχθιστος ἐμοὶ ἦσθα, νῦν δὲ φίλιος εἶ.   4. ὁ συγγραφεὺς τῆς ἀληθείας μνήμων ἔστω.   5. μὴ ἡμεῖς τῶν πατέρων ἀδικώτεροι ὦμεν.   6. θεοῖς ὅμοιοί ἐσμεν εὐεργεσίᾳ.   7. δύο παῖδε ἤστην τῷ Περικλεῖ. 8. ὁ τύραννος πολλοὺς φύλακας ἔχει, ἵνα ἀσφαλέστερος ᾖ. 9. μὴ οἱ φιλόσοφοι τῶν ἀπαιδεύτων κακίους ὄντων.   10. δυστυχεῖς ἦμεν μᾶλλον ἢ δειλοί.

